# ΠΕΡΙ ΤΟΥ

# ΛΟΥΚΑ,

καὶ τοῦδε τοῦ κατ' αὐτὸν Εὐαγγελίου.

## ΕΙΡΗΝΑΙΟΣ.*

ΛΟΥΚΑΣ ὁ ἀκόλουθος Παύλου, τὸ ὑπ' ἐκείνου κηρυσσόμενον Εὐαγγέλιον, ἐν βιβλίῳ κατέθετο.

## ΩΡΙΓΕΝΗΣ.

ΤΡΙΤΟΝ Εὐαγγέλιόν ἐστιν τὸ κατὰ Λουκᾶν, τὸ ὑπὸ τοῦ Παύλου ἐπαινούμενον, τοῖς ἀπὸ τῶν ἐθνῶν πεποιηκότα.

## ΕΥΣΕΒΙΟΣ.

ΛΟΥΚΑΣ τὸ μὲν γένος ὢν τῶν ἀπ' Ἀντιοχείας, τὴν δὲ ἐπιστήμην ἰατρὸς, τὰ πλεῖστα συγγεγονὼς τῷ Παύλῳ, καὶ τοῖς λοιποῖς δὲ οὐ παρέργως τῶν Ἀποστόλων ὡμιληκὼς, ἧς ἀπὸ τούτων προσεκτήσατο ψυχῶν θεραπευτικῆς, ἐν δυσὶν ἡμῖν ὑποδείγματα θεοπνεύστοις καταλέλοιπε βιβλίοις. Τῷ τε Εὐαγγελίῳ, ὃ καὶ χαράξαι μαρτύρεται, καθὰ παρέδοσαν αὐτῷ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου, ὡς καὶ φησὶν ἐπάνωθεν ἅπασι παρηκολουθηκέναι· καὶ ταῖς τῶν Ἀποστόλων Πράξεσιν, ἃς οὐκέτι δι' ἀκοῆς, ὀφθαλμοῖς δὲ αὐτοῖς παραλαβὼν συνετάξατο. Φασὶ δὲ, ὡς ἄρα τοῦ κατ' αὐτὸν εὐαγγελίου μνημονεύειν ὁ Παῦλος εἴωθεν, ὁπηνίκα ὡς περὶ ἰδίου τινὸς εὐαγγελίου γράφων ἔλεγε· Κατὰ τὸ εὐαγγέλιόν μου.

## ΣΩΦΡΟΝΙΟΣ.

ΛΟΥΚΑΣ ἰατρὸς Ἀντιοχεὺς, καθὼς τὰ συγγράμματα αὐτοῦ δηλοῖ, τοῦ Ἑλληνικοῦ οὐκ ἄπειρος, σπουδαστὴς Παύλου ἀποστόλου, καὶ πάσης αὐτοῦ τῆς ἀλλοδαπῆς ἀκόλουθος, συνέταξεν Εὐαγγέλιον, περὶ οὗ αὐτὸς Παῦλος, Ἀπεστάλκαμεν, φησὶ, σὺν αὐτῷ τὸν ἀδελφὸν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ κατὰ πάσας ἐκκλησίας· καὶ πρὸς τοὺς Κολασσαεῖς· Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός· καὶ πρὸς Τιμόθεον· Λουκᾶς ἐστι μετ' ἐμοῦ μόνος. Καὶ ἕτερον δὲ ἐξέδωκε τεῦχος ἐξαίρετον, ἐπιγραφὴν Πράξεις Ἀποστόλων, οὗ ἡ ἱστορία ἕως διετείας διάγοντος ἐν τῇ Ῥώμῃ Παύλου ἐκτείνεται, τουτέστιν ἕως τετάρτου Νέρωνος ἐνιαυτοῦ. ἀφ' ὧν πεπείσμεθα, ἐν τῇ αὐτῇ πόλει τὴν βίβλον συντετάχθαι. ἡ γὰρ Περίοδος Παύλου καὶ Θέκλας, καὶ πᾶς ὁ μῦθος ὡσανεὶ λέοντος βαπτισθέντος, εἰς τὰς ἀποκρύφους γραφὰς ψηφισθήσεται. οὐδὲ γὰρ ἐνεχώρει τὸν ἀχώριστον τοῦ ἀποστόλου, μεταξὺ τῶν λοιπῶν αὐτοῦ πράξεων τοῦτο ἠγνοηκέναι. ἀλλὰ καὶ Τερτυλλιανὸς, ἐκεῖνον τὸν χρόνον, ἀναφέρει πρεσβύτερόν τινα ἐν τῇ Ἀσίᾳ, σπουδαστὴν Παύλου ἀποστόλου, ἐλεγχθέντα ἐπὶ Ἰωάννου, οἷα παρ' αὐτοῦ συνταγείσης βίβλου, ὡμολογηκέναι φίλτρῳ κατεχόμενον Παύλου, τοῦτο πεποιηκέναι. διὸ καὶ ἐκβεβλῆσθαι τοῦτόν τινες ὑπολαμβάνουσιν. ὁσάκις γὰρ Παῦλος ἐν ταῖς οἰκείαις ἐπιστολαῖς λέγει· Κατὰ τὸ εὐαγγέλιόν μου· δῆλον ὡς περὶ τοῦ τεύχους τοῦ κατὰ Λουκᾶν σημαίνει. καὶ Λουκᾶν οὐ μόνον παρὰ τοῦ ἀποστόλου Παύλου μεμαθηκέναι τὸ εὐαγγέλιον, εἶτα μετὰ τοῦ Κυρίου τηνικαῦτα ἐν τῷ σώματι μὴ γενομένους, ἀλλὰ καὶ παρὰ τῶν λοιπῶν ἀποστόλων, ὅπερ καὶ αὐτὸς ἐν τῇ ἀρχῇ τοῦ ἰδίου συντάγματος περιφανῶς λέγει· Καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται. Τοιγαροῦν τὸ εὐαγγέλιον καθὼς ἀκήκοεν, ἔγραψε· τὰς δὲ Πράξεις τῶν Ἀποστόλων, καθὰ ἱστόρησεν αὐτὸς, καὶ συνέταξεν. Ἠνέχθη τὰ λείψανα αὐτοῦ, καὶ ἀπετέθη ἐν Κωνσταντινουπόλει, εἰς ἣν πόλιν τῷ εἰκοστῷ Κωνσταντίνου ἐνιαυτῷ τὸ τούτου σῶμα μετὰ τῶν λειψάνων Ἀνδρέου τοῦ ἀποστόλου μετηνέχθη.

## ΙΠΠΟΛΥΤΟΣ.*

ΛΟΥΚΑΣ ὁ εὐαγγελιστὴς ἐκ τῶν ἑβδομήκοντα τυγχανόντων ἦν, τῶν διασκορπισθέντων ἐπὶ τῷ ῥήματι ὃ εἶπεν ὁ Κύριος· Ἐὰν μή τις μου τὴν σάρκα φάγῃ, καὶ τὸ αἷμά μου πίῃ, οὐκ ἔστι μου ἄξιος. Ἀλλ' ὁ μὲν Μάρκος διὰ Πέτρου, ὁ δὲ Λουκᾶς διὰ Παύλου πάλιν ἐπανακάμψαντες πρὸς Κύριον, εὐαγγελίζεσθαι καταξιοῦνται. ὑπὲρ οὗ καὶ ἐμαρτύρησαν· ὁ μὲν πυρποληθεὶς, ὁ δὲ σταυρωθεὶς ἐπὶ Ἐλαίας.

## ΔΩΡΟΘΕΟΣ.

ΛΟΥΚΑΣ ὁ εὐαγγελιστὴς, Ἀντιοχεὺς μὲν τὸ γένος ἦν, ἰατρὸς δὲ τὴν τέχνην. συνεγράψατο δὲ τὸ μὲν εὐαγγέλιον, κατ' ἐπιτροπὴν Πέτρου τοῦ ἀποστόλου· τὰς δὲ πράξεις τῶν ἀποστόλων κατ' ἐπιτροπὴν Παύλου τοῦ ἀποστόλου. συναπεδήμησε γὰρ τοῖς ἀποστόλοις, καὶ μάλιστα τῷ Παύλῳ· οὗ καὶ μνημονεύσας ὁ Παῦλος ἔγραψεν ἐν ἐπιστολῇ· Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς ἐν Κυρίῳ. Ἀπέθανε δὲ ἐν Ἐφέσῳ, καὶ ἐτάφη ἐκεῖ. μετετέθη δὲ ὕστερον ἐν Κωνσταντινουπόλει μετὰ καὶ Ἀνδρέου καὶ Τιμοθέου τῶν ἀποστόλων, κατὰ τοὺς καιροὺς Κωνσταντίνου βασιλέως, υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου.

## ΤΙΤΟΣ Ο ΒΟΣΤΡΕΥΣ. †

ΙΣΤΕΟΝ τοὺς μὲν ἄλλους εὐαγγελιστὰς ἐξ αὐτῶν ἀρχομένους ὧν ἐστιν ἰδεῖν δυνάμεων· τὸν δὲ μακάριον Λουκᾶν, καὶ προοιμίοις ἐπιβάλλοντα, καὶ συγγνώμην ἑαυτῷ πραγματευόμενον, ὅτι μέλλει μέγα ἐκτίθεσθαι. καὶ γὰρ φησίν· Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν. Τὸ, ἐπεχείρησαν ἐνταῦθα ἀντὶ τοῦ, ὅτι χωρὶς χαρίσματος ἦλθον εἰς τὴν ἀναγραφὴν τῶν εὐαγγελίων τινὲς, χρὴ νοεῖν. Ματθαῖος γὰρ οὐκ ἐπεχείρησεν, ἀλλ' ἔγραφεν ἀπὸ τοῦ ἁγίου πνεύματος· ὁμοίως καὶ Μάρκος, καὶ Ἰωάννης· παραπλησίως δὲ καὶ Λουκᾶς. τὸ μέν τοι ἐπιγεγραμμένον κατὰ Αἰγυπτίους Εὐαγγέλιον, καὶ τὸ ἐπιγεγραμμένον τῶν δώδεκα Εὐαγγέλιον οἱ συγγράψαντες ἐπεχείρησαν. Πολλὰ δὲ καὶ ἕτερα φέρονται· ἀλλὰ τέσσαρα μόνα ἡ τοῦ Θεοῦ Ἐκκλησία προσδέχεται.

## ΘΕΟΦΥΛΑΚΤΟΥ ΒΟΥΛΓΑΡΙΑΣ

Ἀρχιεπισκόπου εἰς τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον.

ΛΟΥΚΑΣ ὁ θεῖος, Ἀντιοχεὺς μὲν ἦν, ἰατρὸς δὲ, καὶ τὴν ἔξω σοφίαν πολύς. οὐ μὴν ἀλλὰ καὶ

* Vide etiam *Iren.* Lib. III. cap. 14. *Tertull.* contr. Marcion. Lib. 14. cap. 2. 5.

* MS. in Bibl. *Bodlejana.*

† Cod. MS. in *Collegio Novo.*

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/ppn321907175/312
gefördert von der Deutschen Forschungsgemeinschaft DFG